Ζῶα

# Κεγχρίνης, Ὄφις

Νικάνδρου Θηριακά. (Otto Schneider's ἔκδοσις) Lipsiae 1856

εἴ γε μὲν Ἡφαίστοιο χαλαίποδος ἐν πτυχὶ νήσου
βήσεαι ἢ Σάμον δυσχείμερον, αἵ τ' ἐνὶ κόλπῳ
Θρηϊκίῳ βέβληνται ἑκάς, Ῥησκυνθίδος Ἥρης
Ἕβρος ἵνα, Ζωναῖά τ' ὄρη χιόνεσσι φάληρα
καὶ δρύες Οἰαγρίδαο, τόθι Ζηρύνθιον ἄντρον,
δήεις κεγχρίνεω δολιχὸν τέρας, ~~περίστικτον φολίδεσσι·~~ ὅν τε λέοντα
αἰόλον ἀλδάζαντο, περίστικτον φολίδεσσι·
τοῦ πάχετος μῆκός τε πολύστροφον· αἶψα δὲ σαρκὶ
πυθεδόνας κατέχευε δυσαλθέας, αἱ δ' ἐπὶ γυίοις
ἰοβόροι βόσκονται· ἀεὶ δ' ὑπὸ νηδύσιν ὕδρωψ
ἄλγεσιν ἐμβαρύθοντα κατὰ μέσον ὀμφαλὸν ἵζει.
Ἤτοι ὅτ' ἠελίοιο θερειτάτη ἵσταται αὐγή,
οὔρεα μαιμώσσων ἐπινίσσεται ὀκριόεντα,
αἵματος ἰσχανόων, καὶ ἐπὶ κτίλα μῆλα δοκεύων,
ἢ Σάον ἢ Μοσύχλον ὅτ' ἀμφ' ἐλάτῃσι μακεδναῖς
ἄγραυλοι μύχωσι, λελοιπότες ἔργα νομήων·
μή σύ γε θαρσαλέος περ ἐὼν θέλε βήμεναι ἄντην
μαιομένου, μὴ δή σε καταπλίξῃ καὶ ἀνάγχῃ
πάντοθι μαστίζων οὐρῇ δέμας, ἐν δὲ καὶ αἷμα
λαιφάξῃ, κληῖδας ἀναρρήξας ἑκάτερθεν.
Φεῦγε δ' ἀεὶ σκολιήν τε καὶ οὐ μίαν ἀτραπὸν ἴλλων,
δοχμὸς ἀνακρούων θηρὸς πάτον· ἦ γὰρ ὁ δεσμοὺς
βλάπτεται ἐν καμπῇσι πολυστρέπτοισιν ἀκάνθης,
ἰθεῖαν δ' ὤκιστος ἐπιδρομάδην στίβον ἕρπει.
Τοῖος Θρηϊκίῃσιν ὄφις νήσοισι πολάζει.

ἀκολουθ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Σχόλια.

463. Κεγχρείνων. Ἔστι δὲ οὗτος μακρὸς καὶ κατάστικτος ὄντα λέοντα. Λέοντα αὐτὸν λέγει ἢ διὰ τὸ ποικιλόστικτον τῶν φολίδων ἢ διὰ τὸ γενναῖον.

Ἄλλως. Λέοντα ἐκάλεσε τὸν κεγχρείνην ἢ διὰ τὸ ἑαυτὸν μαστίζειν τῇ οὐρᾷ καὶ διεγείρειν εἰς μάχην ὡς λέοντα ἑαυτόν, ἢ διὰ τὸ δάκνειν καὶ ῥοφᾶν τὸ αἷμα τοῦ ἀνθρώπου, ἅτινα δὴ καὶ λέων ποιεῖ. ῥοφᾷ δὲ τὸ αἷμα διὰ τῶν καταπλειάδων.

465. αἷμα δὲ σαρκί. Ταχέως δὲ περὶ τὴν σάρκα σηπεδόνας ἐποίησε δυσαλθεῖς. αὗται γάρ εἰσιν αἱ πυθεδόνες, οἱ δὲ Αἰολεῖς τὸ φθίνειν πύθεσθαι λέγουσι.

470. μαιμώσσων. Ἀντὶ τοῦ ζητῶν ἢ ὁρμῶν.

471. ἐπὶ κτίλα δὲ μύδα. Τὰ ὑγρὰ καὶ τὰ ἐπόμενα τῷ κτίλῳ, τουτέστι τῷ προηγουμένῳ κριῷ.

473. ἄγραυλοι. Τουτέστιν οἱ ποιμένες, καταλείπωσι τὰ ἔργα τῶν νομέων, τουτέστι τοῦ βόσκειν, καταλείχωσιν ἑαυτοὺς μετὰ θρέμματα ὑπὸ ταῖς μανδραῖς, ἤγουν ἐπικλήσεσιν ἐλάταις.

475. καταπλέξῃ. Ἀντὶ τοῦ ἀχρειώσῃ ἢ περιπλέξῃ, ἤγουν περιπλακῇ.

476. μαστίζων. Ἑαυτὸν δηλονότι, ἢ ὃν ἂν θέλῃ πλῆξαι.

477. καὶ κνημῖδας τὰς σάς, ἤτοι τὰς τοῦ πολυτρόφου, ἢ τοῦ οἰκείου χαλινοῦ.

478. δοχμός. Ἐπικλινόμενος τῇ τοῦ ἑρπετοῦ πορείᾳ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ